τὴν ἔχηκε φύσιν τοῖς οὐρανίοις σώμασι τὰ ἄστρα ὅλως τὴν αὐτὴν προβάλλεται ἐνέργειαν. Τέταρτον εἶγε ἀλόγως ὁ Φιλόσοφος δευτέρῳ περὶ οὐρανοῦ, μορίῳ νθ'. ἀπὸ τοῦ ἐν τῇ Σελήνῃ σχήματος σφαιροειδῆ εἶναι
„ δείκνυσι τὰ Ἄστρα πάντα. ὁμοίως γάρ φησιν ἅπαντα καὶ ἓν, ἡ δὲ
„ Σελήνη δείκνυται διὰ τῶν περὶ τὴν ὄψιν καὶ τὰ ἑξῆς. ἀλόγως αὖ καὶ ἡμεῖς οὐ διαφέρειν φύσει ἀλλήλων τοὺς Ἀστέρας φαμὲν ἀλλὰ πάντας ἓν εἶναι. διὸ δὴ καὶ τῷ αὐτῷ σχήματι ὁρίζονται, καὶ τὸν αὐτὸν τρόπον δρᾷ εἰς τὸ θνητὸν σῶμα. Πέμπτον ἀπόχρη ἡ παρὰ τῶν οὐρανίων σωμάτων ἐγγινομένη ζωτικὴ θερμότης, ταύτῃ γὰρ φυτὰ θάλλει, δένδρα δὲ βλαστάνει, καὶ φέρει καρποὺς, γεννᾶ δὲ ζῶα, καὶ πᾶσα γένεσις τῶν ὑπὸ Σελήνην τελεῖται. καὶ ὥσπερ τῷ ἀπὸ καρδίας θερμῷ τὰ μέλη πάντα τοῦ ζώου ζῇ τε καὶ ἐνεργεῖ, οὕτω καὶ τῇ ἀπ' οὐρανῶν θερμότητι. μέσον γὰρ ὁ οὐρανὸς λέγεται, μορίῳ οβ'. τοῦ δευτέρου περὶ οὐρανοῦ. τὸ ὑπὸ Σελήνην σῶμα τὰς οἰκείας κινεῖται κινήσεις. ἐπεὶ δὲ ἡ θερμότης ἀπὸ τοῦ φωτὸς καὶ τῆς κινήσεως, ταῦτα ἄρα τῆς οὐρανίου ποιήσεως ὄργανα. Τούτων οὖν οὕτως ἑκατέρωθεν ἀντιφερομένων εἰδέναι δεῖ, ὅτι τέτταρες μάλιστα περὶ τῆς προτεθείσης σκέψεως δόξαι θρυλλοῦνται. ὧν ἡ μὲν τῶν Ἀκαδημαϊκῶν ὑπάρχει, δύναμίν τινα ἀπόρρητον ἔν τε τῇ τάξει καὶ σειρᾷ τῶν ἰδεῶν, καὶ ἐν τοῖς ἐν τῇ ψυχῇ λόγοις, ᾗ τὰ πάντα κυβερνᾶται καὶ διέπεται τιθεμένη, ὡς καὶ Πλωτῖνος διαμαρτυρεῖ, ὡς εἴρηται ἀνωτέρω. ἐπειδὴ δ' ὅμως ἀποδοκιμάζεται τοῖς Ἀριστοτελικοῖς ἡ περὶ τὰς ἰδέας ὑπόληψις, φανερὸν ὅτι καὶ ἡ τοιαύτη τῶν ἰδεῶν δύναμις συναπερρύη. ἐκ διαμέτρου δὲ τῷ δόγματι τούτῳ τινὲς ἀντίκεινται, ὧν τοὺς λόγους προσεχῶς ἐξεθέμεθα, μηδεμίαν ἄλλην ἐνέργειαν τοῖς οὐρανίοις ἀποδιδόντες σώμασιν. ἀλλ' ἢ τὸ κινεῖν καὶ τὸ φωτίζειν, καὶ τούτοις τὰ ὑπὸ Σελήνην ἅπαντα γίγνεσθαι διϊσχυρίζονται, ἡντιναοῦν ἄλλην ἀπαλλοτριοῦντες τῶν οὐρανίων σωμάτων. Αὗται μὲν οὖν αἱ δόξαι ἐναντίαι πάντως εἰσὶ, μέσαι δὲ δύο, ὧν ἡ μὲν τοῖς ἀνωτέρω λόγοις ἐπερειδομένη, οὐκ ἀποχρῆναι νομίζει τὸ φῶς καὶ τὴν κίνησιν πρὸς τὴν τοσαύτην τῶν γιγνομένων διαφορὰν καὶ ποικιλίαν, ἀλλὰ καθάπερ ἐν τοῖς ὑπὸ Σελήνην παρὰ τὰς παθητικὰς ποιότητας πλείους ἀναφαίνονται δυνάμεις θαυμασίας ἐνεργείας προβάλλουσαι, οὕτω τοι καὶ τοῖς θείοις σώμασι τὰς φαινομένας διαφορὰς οὐ κατὰ συμβεβηκὸς εἶναι λέγουσιν, ἀλλ' ἰδιότησι διακεκρίσθαι, ὥστε τῷ φωτὶ καὶ τῇ κινήσει ἓν γίγνεσθαι σῶμα κατὰ γένος τὰ οὐράνια πάντα. εἴδει δὲ διαφέρειν ἀλλήλων ταῖς οἰκείαις δυνάμεσιν, ἃς ἐναργεῖς εἶναι ἡμῖν διδάσκουσι τοῖς ὁσημέραι γιγνομένοις ἀποτελέσμασι μείζω τινὰ καὶ θαυμασιωτέραν αἰνιττομένοις αἰτίαν ἐν τῷ ποιοῦντι. τὰς δὲ ἐνεργείας τῶν ἐν ἑκάστῳ δυνάμεων ἀπορροὰς εἰώθασι καλεῖν μεταφο-



ΙΩΑΝΝΙΝΑ 2006

παφορικῶς ἴσως ἀπὸ τῆς ἀπὸ πηγῆς ῥοῆς τῶν ὑδάτων. Τετάρτη δὲ δόξα ἐστὶν, ἥτις τρόπον τι τῆς μέσης ἀντέχεται, οὔτε παρὰ τὸ φῶς καὶ τὴν κίνησιν διαφόρους τε καὶ ἐναντίας δυνάμεις προσάπτουσα τοῖς οὐρανίοις σώμασιν, ἵνα μὴ τὴν τῶν οὐρανῶν ἁπλουστάτην φύσιν διασπάσῃ τῇ παντοδαπῇ ποικιλίᾳ, καὶ εἰς ἐναντίωσιν ἀπαγάγῃ, οὔτε τὰς τῶν γιγνομένων ἐνταῦθα διαφορὰς ἀποφάσκουσα, οὔτε περιττὴν λέγουσα τὴν ἐν τοῖς ἄστρασι διαφοράν. ἀλλὰ φωτὶ μὲν καὶ κινήσει ὡς ὀργάνοις δρᾷν ἀποφαίνεται τὰ οὐράνια σώματα, οὐ τὸν αὐτὸν δὲ πάντα τρόπον, ἢ κατ' ἐπίτασιν καὶ ἄνεσιν διαφέροντα, ἀλλὰ τὸν οἰκεῖον ἕκαστον τρόπον. ὅθεν ἑκάστου τῶν ἀστέρων τὸ φῶς καὶ ἡ κίνησις οἰκείας τινὰς ἐνεργείας ἀποτελεῖ, οὐχ ἡ φῶς μόνον καὶ κίνησις, ἀλλ' ἡ τοιοῦδε ἀστέρος. ἐκ δὲ δὴ τούτου δῆλον, ὅτι πρόσεισι τοῖς οὐρανίοις σώμασι πᾶσαι αἱ τῶν τῇδε γιγνομένων δυνάμεις, ἀλλ' οὐ κεχωρισμέναι φωτὸς καὶ κινήσεως ὡς πόῤῥω τῆς τοῦ Φιλοσόφου δόξης ἔνιοι λέγειν ἐπεχείρησαν, ἀλλὰ συνημμέναι τῷ φωτὶ καὶ τῇ κινήσει. ταῦτα γὰρ καὶ μόνα ὄργανα τῆς οὐρανίου τέτακται ποιήσεως, καίτοιγε ὡς τὰ ὄργανα οὐ τὸν αὐτὸν σώζει τρόπον ἀεὶ, ἀλλὰ παραλλάττεται κατὰ τὴν τοῦ χρωμένου δύναμιν. οἷον ἐμψύχου παντὸς ὄργανον τὸ ἔμφυτον θερμὸν, καὶ παρὰ τοῦτο οὐδενὶ ἄλλῳ κέχρηται ἡ ψυχή. ἀλλὰ φυτὰ μὲν τούτῳ πάντα ζῇ, καὶ αὔξεται, καὶ τρέφεται, ἰδίᾳ δὲ ἕκαστον τὸ μὲν φλεγμαγωγόν ἐστι, τὸ δὲ χολαγωγὸν, τὸ δὲ ἐμετικὸν, τὸ δὲ διαφορητικὸν, τὸ δὲ διουρητικόν. τὰ δὲ ζῶα πρὸς τὸ ζῆν καὶ αὔξεσθαι καὶ τρέφεσθαι, κοινὰς ἔχουσι δυνάμεις τὸ κινεῖσθαι καὶ αἰσθάνεσθαι. ἰδίας δὲ μυρίας ὅσας, οὐδ' ὁ πᾶς λόγος ἐξειπεῖν διαρκέσειεν. αὗται δ' ὅμως τῆς ἐμφύτου θερμότητος ἀπεῤῥύησαν κατὰ τὴν ἐν ἑκάστῳ σύγκρασιν τῶν παθητικῶν ποιοτήτων, οὐδ' εἰσὶ τούτου κεχωρισμέναι. ἀλλ' αὐτὸ δὴ τὸ ἔμφυτον θερμὸν ἐν πᾶσι τὰς οἰκείας ἐνεργείας ἀποτελεῖ. καίτοι κἂν τούτοις αἱ τοιαῦται δυνάμεις ἐνεργείᾳ τίθενται, ἐν αὐτοῖς τούτοις ἐνεργοῦσαι τὰ πλείω. αὐξητικὸν γὰρ ἐν ἑαυτῷ τὸ ζῶον καὶ θρεπτικόν. ἐν δὲ τοῖς οὐρανίοις σώμασιν ἐπειδὴ οὐδεμία ἐναντίωσις ὑπάρχει, ἀλλ' ἡ αὐτή ἐστι πάντων ἡ φύσις, οὔτε τὰς τῶν ἀποτελουμένων δυνάμεις ἐν τούτοις τιθέμεθα, ἀλλ' ἐν τῷ φωτὶ καὶ τῇ κινήσει. καὶ ταῦτα οἰόμεθα τὰς οἱασδηποτοῦν ἐνεργείας τελεῖν διαφόρως ὑφ' ἑκάστου τῶν οὐρανίων σωμάτων προϊέμενα. εἰς τρανωτέραν δὲ τῶν λεγομένων σαφήνειαν ἔνια δεῖ σημειῶσαι. Πρῶτον μὲν οὖν ὅτι ὥσπερ οὐδ' ἐν τοῖς ὑπὸ Σελήνην ἕτεραί τινες ὑπάρχουσι δυνάμεις παρὰ τὰς παθητικὰς ποιότητας, ἀλλ' ὅσαι αὖ ὑπάρχουσι παρὰ τῆς συγκράσεως καὶ ἐπιμιξίας τελοῦνται τῶν πρώτων ποιοτήτων, ὡς καὶ ἀνωτέρω λέλεκται. ὅθεν οὐδ' ἐν τοῖς οὐρανίοις σώμασιν, ἀνάγκη παρὰ τὸ φῶς καὶ τὴν κίνησιν



Ε.Υ.Δ.Π.Σ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἑτέρας τινὰς ἀναπλάττειν δυνάμεις. ἀλλ' ὥσπερ αἱ πρῶται ποιότητες διαφόρως ἐπιμιχθεῖσαι ἀλλήλαις καὶ ἀνακραθεῖσαι τὰ παρ' ἡμῖν ἅπαντα πλάττουσιν, οὐ σμικρόν τινα ἔπαινον προξενοῦσαι τῇ φύσει, ὅτι ποιότησιν ὀλίγαις θαυμασίως τὴν τοσαύτην τῶν πραγμάτων γεγένηκε ποικιλίαν. οὕτω τὰ οὐράνια σώματα τῷ φωτὶ καὶ τῇ κινήσει τὰ ὑπὸ Σελήνην ἅπαντα ἀπεργάσαι. πλείοσιν ὅμως τρόποις ταῦτα προϊόντα ὥστε τινὰς ἠπατῆσθαι, καὶ μὴ μόνον τῇ τοῦ φωτὸς καὶ τῆς κινήσεως διαφορᾷ τὰς τῶν τελουμένων αἰτίας ἀποδιδόναι, ἀλλ' ἀποκρύφους τινὰς ἀναπλάσαι ποιότητας. τὸ δὲ φῶς καὶ ἡ κίνησις πλείους τινὰς ὡς ἔοικε διαφορὰς πέπονθε. Πρῶτον μὲν οὖν τὸ φῶς ἀνίεται καὶ ἐπιτείνεται, ἀπὸ μὲν γὰρ Σελήνης ἀμυδρότερον πρόεισι, λαμπρότερον δὲ παρ' Ἡλίου. ἡ δὲ κίνησις τάχει καὶ βραδύτητι πολλαχῶς διενήνοχε. Δεύτερον διαφέρει τὸ φῶς καὶ ἡ κίνησις, οὐ γὰρ ὡσαύτως ποιεῖ πόρρωθεν προϊὸν ἢ ἐγγύθεν. ὅθεν τὸ μὲν ἀπὸ Σελήνης δραστικώτερον φαίνεται, ἧττον δὲ τὸ ἀπὸ τῶν Ἄστρων. Τρίτον ἀπὸ μὲν τοῦ φωτεινοῦ σώματος αἱ ἀκτῖνες προβαλλόμεναι κατὰ τὴν γιγνομένην ἀπὸ τῶν ἀντικειμένων σωμάτων διάκλασιν διαφόρως ἐνεργεῖ. διὸ δὴ τὰς τῶν ἀστέρων ὄψεις οἱ τῶν Ἀστρονόμων παῖδες σημειοῦνται. κατὰ γὰρ τοὺς διαφόρους σχηματισμοὺς καὶ ἀποσημειώσεις, εἴτε κατὰ τρίγωνον ὄψιν, εἴτε κατὰ τετράγωνον, εἴτε κατὰ ἀντίθεσιν, εἴτε κατὰ σύνοδον τὸ φῶς ποικίλως διακλώμενον θαυμασίας τινὰς ἐνεργείας ἐν τοῖς ὑποκειμένοις ἀποτελεῖ σώμασιν. ὅτι δὲ αἱ ῥηθεῖσαι ὄψεις τῶν ἀστέρων οὐ κατά τινα ἄλλην ἰδιότητα, ἀλλὰ τῷ διαφόρῳ τῆς διακλάσεως τρόπῳ τοῦ φωτὸς ἐνεργητικαὶ γίγνονται. σημεῖον ὅτι οὐδεμίας ἐνεργείας προβλητικαὶ λέγονται αἱ καθ' ἑξάγωνον, ἢ ἐννεάγωνον, ἢ δωδεκάγωνον ἀποσημειώσεις. πάνυ γὰρ ἀμυδρὰ ἡ κατὰ τοὺς σχηματισμοὺς τούτους τοῦ φωτὸς διάκλασις, διὸ καὶ ἀμαυρὰ ἡ ἐνέργεια καὶ οὐδενὸς ἀξία λόγου. Τέταρτον διαφέρουσι ταῖς τοῦ μέσου διαφοραῖς. πέπονθε γὰρ τὸ διαπορθμεῦον τὰς δυνάμεις διαφόρως παθαινόμενον, μεταβάλλειν τὰς ἐνεργείας τῶν ποιούντων. ὅθεν οὐ τὸν αὐτὸν τρόπον ἐνεργεῖ τὸ φῶς, διὰ τοῦ μανοῦ καὶ πυκνοῦ σώματος, ἀλλὰ διαφόρως. Πέμπτον ὡς δὴ τὰ ἄστρα ἀλλήλων διενήνοχε τῷ τε διαφανεῖ καὶ τῷ μεγέθει, καὶ ταῖς κινήσεσιν, οὕτω δὴ καὶ τὸ φῶς ποικίλως ἀφιᾶσιν. Ἕκτον διαφέρουσιν αἱ τοῦ φωτὸς ἐνέργειαι, ὡσαύτως δὲ καὶ αἱ τῆς κινήσεως κατὰ τὴν τῶν προσεχῶν ὀργάνων διαφοράν. ἐπειδὴ γὰρ ὄργανα τὸ θερμὸν καὶ ψυχρὸν, καὶ ὑγρὸν καὶ ξηρὸν, τῆς ποιητικῆς τῶν οὐρανίων δυνάμεως, δῆλον ὅτι ἄλλως διὰ τοῦ ξηροῦ ἐνεργεῖ, καὶ ἄλλως διὰ τοῦ ὑγροῦ τὸ φῶς. Τελευταῖον ὥς γε διαφέρει τὰ ἀποδεχόμενα σώματα, οὕτω τοι μεταβάλλουσιν αἱ τοῦ φωτὸς ἐνέργειαι. Ἥλιος γὰρ καὶ ἄνθρωπος ὡς λέ-



ΙΩΑΝΝΙΝΑ 2006

γεται γεννᾷ ἄνθρωπον. Ἥλιος δὲ καὶ Ἵππος Ἵππον. καὶ διὰ ταῦτα εὐλόγως τὸ φῶς καὶ τὴν κίνησιν οἰόμεθα ὄργανα τῶν οὐρανίων σωμάτων οὐδέσιν ἄλλοις ἰδιώμασι προσχρώμενοι, ἀλλὰ ταῖς ῥηθείσαις διαφοραῖς στέργοντες. κοινὸν γὰρ ποιοῦν τὸ οὐράνιον σῶμα καὶ ὁμώνυμον. διὸ καὶ αἱ δυνάμεις κοιναὶ ὀφείλουσιν ὑπάρχειν. εἰ γὰρ τῶν ἐν τοῖς ὑπὸ Σελήνην γιγνομένων ἑκάστου ἡ ποιητικὴ δύναμις συνωνύμως ἐν τοῖς οὐρανοῖς τάττεται, ἀλλ' οὐ ταῖς κοιναῖς δυνάμεσιν ἡ τούτου γένεσις ἀνατίθεται. φανερὸν, ὅτι καὶ τὰ οὐράνια σώματα προσεχῆ εἰσιν αἴτια καὶ συνώνυμα. Ἔτι δὲ κἀκεῖνο σημειωτέον, ὅτι τὸ μὲν φῶς πρώτως καὶ κυρίως φωτίζειν πέφυκεν, ἡ δὲ κίνησις διακινεῖν. Δεύτερον δὲ δὴ τρόπον ἀμφότερα τοῦ θερμοῦ προαγωγὰ γίνεται, τοῦ δὲ ψυχροῦ διὰ τὴν ἀπουσίαν. Τρίτον δὲ δὴ τρόπον τὰς ἄλλας ἐνεργείας προβάλλεται διὰ τῶν μεταξὺ αἰτίων, ἃ λέλεκται ἀνωτέρω. Τούτων δὲ οὕτως ἐχόντων ὡς ἐν παρόδῳ σκεψώμεθα, πότερον ἀμφοῖν τιμιώτερον οἰητέον καὶ δραστικώτερον, πολλῶν δὲ τὴν ἑκατέρου δύναμιν ἐπαιρόντων. εἰρήσθω ὅτι ὡς ὁ Φιλόσοφος δείκνυσιν ὀγδόῳ Φυσικῶν, πρώτως ἡ κυκλοφορία αἰτία τῶν γιγνομένων, μάλιστα αὕτη τὴν τῆς φύσεως διαφορὰν καθίστησιν, ὡς δὲ ἕκαστον ἔχει κατὰ τὸ εἶναι οὕτως ἐνεργεῖ. ἀλλ' ὅμως ἐπειδὴ ἡ κίνησις ἀρχοειδεστέρα ἐστὶ, διά τοι τοῦτο καταλείπεσθαι τοῦ φωτὸς εἰκότως ἂν δόξειε. τὰ γὰρ πρότερα τῇ γενέσει ἐλαττοῦται τῇ τελειότητι. ὅθεν ἡ μὲν κίνησις, διατίθησι τὸ δὲ φῶς χαρίζεται τὸ εἶδος, καὶ ἡ μὲν κίνησις εἰς τὸ προσεχῶς ὑποκείμενον σῶμα δρᾷ, τὸ δὲ φῶς εἰς αὐτὰ δὴ τὰ ἀπωτάτω ὑπάρχοντα, ἀμφότερα δὲ καὶ μόνα τῆς οὐρανίου ποιητικῆς δυνάμεως ὄργανα τυγχάνουσιν ὄντα.

## Λύσις τῶν ἀπορουμένων.

Ἐκ μὲν οὖν τῶν εἰρημένων, καὶ ἡ τῶν ἀντικειμένων λόγων λύσις δεδήλωται. Πρῶτον μὲν γὰρ ὥσπερ ἐν τοῖς ὑπὸ Σελήνην οὐδέν ἐστι παρὰ τὰς πρώτας ποιότητας ἐν τοῖς μικτοῖς ἄλλοθεν ἔχον τὸ εἶναι, ἀλλὰ πᾶσα δύναμις καὶ ποιότης ἐκ τῆς τούτων ἐνεργείας, ἢ συγκράσεως πρόεισιν. ὥστε καὶ τὰς καλουμένας ἀπορρήτους δυνάμεις, οἷον τὴν τῆς μαγνήτιδος ἑλκυστικὴν τοῦ σιδήρου, καὶ τὴν τῆς παιονίας ἀντεπιληπτικὴν παρὰ τῆς τῶν παθητικῶν ποιοτήτων ἐπιμιξίας ἀποτελεῖσθαι. ἀδήλους δὲ λέγεσθαι οὐ τῷ ἀγνοεῖσθαι τὴν αἰτίαν δι' ἣν γίγνονται, ἀλλὰ τὸν τρόπον, οὕτω τοι ἐν τοῖς οὐρανίοις σώμασι παρὰ μόνου τοῦ φωτὸς καὶ τῆς κινήσεως πάντα τελεῖται. εἰ δέ τις ἐνσταίη ὅτι τὸ φῶς οὐ καθικνεῖται τῶν ἐνδοτάτω τῆς γῆς. οὐ μὴν διὰ τοῦτο τῆς δραστικῆς δυνάμεως ἀποξενοῦ-

θαι.

ΙΩΑΝΝΙΝΑ 2006

θείη. ἡ γὰρ ὑπὸ τοῦ Ἡλιακοῦ φωτὸς ἐγγινομένη τοῖς ὑπὸ Σελήνην θερμότης πάντα δίεισι, καὶ πάντα διέπει. Ἔτι δὲ πρὸς τοὺς Ἀστρολόγους ἀπαντητέον, ὅτι εἰ καὶ ἀπὸ τῆς τῶν ἀστέρων καταστάσεως καὶ ἀποσημειώσεως, διὰ τὴν τοῦ φωτὸς ποικίλην διάκλασιν πολλὰ τῶν γιγνομένων ἐνδέχεται προσημαίνεσθαι, καὶ προλέγεσθαι παρ᾽ αὐτῶν, ἀλλ᾽ ὅμως οὐδέπω τούτοις παρὰ τῶν περιπατητικῶν συγκεχώρηται ὅσα καθ᾽ ἡμέραν παραχρώμενοι τῇ τῶν ἀστέρων θεωρίᾳ ἀναιδῶς περὶ τῶν μελλόντων μεγαλορῥημονοῦσιν. ἐξ ὧν φανερὸν, ὅτι τὴν μὲν Ἀστρονομίαν ὅση τὰς κινήσεις τῶν οὐρανίων σωμάτων σκοπεῖται, Πλανητῶν τε περιόδους, καὶ Ἀστέρων ἐπιτολὰς καὶ δύσεις, συνόδους τε καὶ ἀντιθέσεις Ἡλίου, καὶ Σελήνης, καὶ τὰς τούτων ἐκλείψεις τιμᾶν εἰκός. ὅση δὲ ματαίως περὶ τὰς γενεθλιακὰς προγνώσεις φιλοτιμεῖται, οὐ μόνον ἀποστρέφεσθαι δεῖ, ἀλλὰ καὶ ὡς ἐφικτὸν τῆς περὶ ἐκείνην ἀσκήσεως τοὺς νέους ἀποτρέπεσθαι. ὁμοίως δὲ καὶ τὰς λοιπὰς τῶν ἐπιστημῶν, ὅσαι ταῖς κατὰ μέρος προῤῥήσεσι χαίρουσιν ἐν οὐδενὶ λόγῳ τίθεσθαι προσήκει. Τελευταῖον κἀκεῖνο γέγονε φανερὸν, ὅτι οὐ μάτην ἡ τοσαύτη διαφορὰ τῶν ἀστέρων ὑπάρχει, διαφόρους γὰρ ἐνεργείας ἐν τοῖς ὑπὸ Σελήνην τελοῦσι διὰ τοῦ φωτὸς καὶ τῆς κινήσεως. οἷον ἀέρων μεταβολὰς, ἀνέμων τε βίας, καὶ γαλήνας θαλάσσης, νόσων τε ἐπιδρομὰς, καὶ εὐφορίας, καὶ ἀκαρπίας, ὡς εἰρήσεται σὺν θεῷ διδῶν, ἐν τοῖς Ἀστρονομικοῖς μαθήμασι.

## ΚΕΦΑΛΑΙΟΝ, ΠΕΜΠΤΟΝ.

### Ἀπορίαι περὶ τοῦ εἰ δρᾷ εἰς τὰ τῇδε τὰ οὐράνια σώματα, καὶ τίνι τρόπῳ.

ΕΙ καὶ ἀνωτέρω δέδεικται ὅτι ἡ ποιητικὴ τῶν ὑπὸ Σελήνην αἰτία τοῖς οὐρανίοις ἀποδέδοται σώμασι κατὰ τὸν Φιλόσοφον, ἀλλ᾽ ὅμως καὶ τὰς θρυλλουμένας περὶ τῆς ζητήσεως ταύτης ἀπορίας εἰκὸς ἐστὶν ἐπιλῦσαι, ἵνα τῇ τῶν ἐναντίων παραθέσει μᾶλλον ἡ ἀλήθεια δήλη γένηται. Πρῶτον μὲν οὖν τὰ ὑπὸ Σελήνην ἅπαντα ἐνδεχόμενά εἰσιν. ἔνια δὲ πάντως τῆς τῶν ποιούντων προαιρέσεως ἤρτηνται, τὰ δὲ οὐράνια σώματα ἀναγκαίως κινεῖται, ἀΐδιά τε ἐστὶ, καὶ ἀναλλοίωτα, διόπερ ὡς λέγεται, μορίῳ ιζʹ. τοῦ ἐννάτου τῆς πρώτης Φιλοσοφίας, οὐ δεῖ φοβεῖσθαι μήποτε ἠρεμήσωσι, πῶς ἄρα δυνατὸν τὸ ἀναγκαῖον εἶναι τοῦ ἐνδεχομέ-



ΙΩΑΝΝΙΝΑ 2006

νου αἰτία; οὐδέ τις εἴποι ὅτι τὰ οὐράνια σώματα κοινά εἰσι καὶ καθόλου αἴτια. καὶ τῇ τῶν κατὰ μέρος ἐνεργούντων φύσει συνθέουσιν. εἰ γοῦν αὐτὰ τύχοι ἐλεύθερα καὶ αὐτεξούσια, καὶ τὰ παρ' αὐτῶν ἀποτελέσματα τοιαῦτα ἔσται; σαφῶς ἂν τὴν τῶν οὐρανῶν δύναμιν μειώσῃ, ταῦτα γὰρ τῆς τῶν ὑπὸ Σελήνην δυνάμεως ὑπερτεροῦντα ἔχειν ἂν συνεπισπάσαι εἰς τὸ ἀναγκαῖον τὰς ἐκείνων ἐνεργείας. Δεύτερον τὰ ποιητικὰ καὶ τὰ πάσχοντα τὴν αὐτὴν ἔχειν ὕλην ὀφείλει, ὡς τρίτῳ περὶ ψυχῆς, μορίῳ ιβ'. λέγεται. ᾗ γάρ φησι τὸ κοινὸν ἀμφοῖν ὑπάρχει, τὸ μὲν ποιεῖν δοκεῖ, τὸ δὲ πάσχειν, ἀλλὰ μὴν τὰ αἰθέρια σώματα οὐκ ἔχει τὴν αὐτὴν ὕλην τοῖς ὑπὸ Σελήνην ὡς λέγεται θ'. τῆς πρώτης Φιλοσοφίας, μορίῳ ιζ'. καὶ ιβ'. μορίῳ ι'. ἄρα οὐκ ἔστι ποιητικὸν τὸ οὐράνιον σῶμα. Τρίτον τὸ ποιοῦν εἰς τὸ πάσχον δρᾷ, ἵνα αὐτὸ ὅμοιον ἑαυτοῦ ποιήσῃ, καὶ ὡς λέγεται δευτέρῳ περὶ ψυχῆς, μορίῳ λδ'. τὸ ποιῆσαι ἕτερον οἷον αὐτὸ ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχωσιν ᾗ δύνανται. πάντα γὰρ ἐκείνου ὀρέγεται, κἀκείνου ἕνεκα πράττει ὅσα κατὰ φύσιν πράττει. Ἔτι δὲ τὸ ποιοῦν ὀφείλει ἅπτεσθαι τοῦ πάσχοντος, καὶ παρὰ ταῦτα ἀντιπάσχειν ὑπ' αὐτοῦ, ταῦτα δὲ πάντα τῇ τῶν οὐρανίων σωμάτων φύσει μάχεται. Τελευταῖον τὸ οὐράνιον σῶμα ἁπλούστατόν ἐστι καὶ ἑνιαῖον τῇ φύσει, τὰ δὲ ὑπὸ Σελήνην ποικίλα, καὶ ἀλλήλοις ἀντιμαχόμενα, πῶς ἄρα δυνατὸν τούτων τὴν αἰτίαν τοῖς οὐρανοῖς ἀνατίθεσθαι. τὸ γὰρ αὐτὸ τοῦ αὐτοῦ ἐστιν ἀεὶ ποιητικόν. οὐδὲν ἧττον ὅμως τὴν ἐναντίαν δόξαν αἱρούμεθα τῆς ἀληθείας εἰς ταύτην ἡμᾶς ἀγούσης, ἣν ὁ Φιλόσοφος διασαφεῖ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς κεφ. ι'. καὶ Τετάρτῳ περὶ γενέσεως ζώων κεφαλαίῳ ἐσχάτῳ. καὶ ιβ'. τῆς πρώτης Φιλοσοφίας, μορίῳ λδ'. καὶ δευτέρῳ Φυσικῶν, μορίῳ κϛ'. τὸ πολυθρύλλητον ἐκεῖνο προσενεγκὼν ὅτι Ἥλιος καὶ ἄνθρωπος γεννᾷ ἄνθρωπον. Ἔτι δὲ πρὸ αὐτοῦ Πλάτων ἐν τῷ Θεαιτήτῳ, καὶ ἐν τῷ Ἀσκληπιῷ ὁ τρισμέγιστος Ἑρμῆς, καὶ Πτολεμαῖος ἐν τῷ πρώτῳ τῆς τετραβίβλου κεφ. α'. καὶ β'. Ἀλλὰ καὶ λόγοις ἰσχυροῖς ἡ τοιαύτη θέσις ἐμπεδοῦται. ὧν τοὺς μὲν ἀνωτέρω ἐξεθέμεθα, τοὺς δὲ διὰ βραχέων εἴπωμεν. Πρῶτον μὲν οὖν τὰ πολλὰ ἀεὶ τοῦ ἑνὸς πρόεισιν. ἑνὸς δὲ λόγον ἔχει τὰ οὐράνια ἀΐδια ὄντα, καὶ ἀεὶ ὡσαύτως ἔχοντα, πολλῶν δὲ τὰ ὑπὸ Σελήνην, φύσεών τε πλήθει διαφόρων τροπαῖς τε παντοίαις καὶ μεταβολαῖς, καὶ τῇ τῶν ἐνεργειῶν ποικιλίᾳ ἀλλήλων διεστηκότα, ἄρα παρὰ τοῦ οὐρανοῦ τὴν ἀρχὴν ἔχει τῆς γενέσεως αὐτῶν, αὐτά τε τὰ στοιχεῖα, καὶ ὅσα ἐκ τῶν στοιχείων. Δεύτερον ἀΐδιά εἰσι τὰ οὐράνια σώματα, τὰ δὲ ὑπὸ Σελήνην φθαρτά. τὰ δὲ ἀΐδια τῶν φθαρτῶν πρότερα ὑπάρχει κατὰ φύσιν ὡς λέγεται ιζ'. μορίῳ τοῦ ἐνάτου τῆς πρώτης Φιλοσοφίας. Πρὸς δὲ τοὺς ἀντικειμένους λόγους ῥαδίως ἀπαντήσειεν ἄν τις ἐκ

τῆς

τῆς τοῦ Φιλοσόφου διδασκαλίας. ὅτι ἐπειδὴ ἀναγκαίως κινεῖται ὁ οὐρανός, ἐξ ἀνάγκης καὶ αἱ τῶν ὑπὸ Σελήνην γίνονται γενέσεις, καὶ οὐκ ἐνδέχεται μὴ γενέσθαι ὡς λέγεται δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς κεφ. ι. οὐ μὴν ἐκ τούτου καὶ αἱ κατὰ μέρος γενέσεις ὡρισμένως εἰλημμέναι ἐξ ἀνάγκης γίνονται. ἐπειδὴ γὰρ κοινὸν αἴτιον ὁ οὐρανὸς ὑπάρχει, καὶ καθόλου, εἰ τύχοι τὰ κατὰ μέρος αἴτια, καὶ τὰ τούτων ἀποτελέσματα, τῇ μὲν ἐλεύθερα ἔσται διὰ τὴν τούτων φύσιν, τῇ δὲ ἀναγκαῖα διὰ τὴν τῶν οὐρανῶν κίνησιν μηδέποτε ἐπιλείπουσαν. Πρὸς δὲ τὸ δεύτερον καὶ ἀλλαχοῦ ἀπηντήκαμεν, ὅτι τῶν ποιούντων, καὶ πασχόντων εἰς ἄλληλα ἡ αὐτή ἐστιν ὕλη, τῶν δὲ ποιούντων οὐκ ἀντιπασχόντων δὲ ἑτέρα. ὥστε τὰ οὐράνια σώματα τὴν αὐτὴν μὲν οὐκ ἔχει τοῖς ὑπὸ Σελήνην ὕλην, διὸ οὐδὲ πάσχει ὑπ' αὐτῶν, ἀλλὰ ποιεῖ μόνον. πρὸς δὲ τὰ λοιπὰ ῥητέον ὅτι τῶν καθόλου αἰτίων οὐκ ἔστι τέλος τὸ ποιεῖν ἕτερον οἷον αὐτό, ἀλλὰ τῶν κατὰ μέρος, καὶ συνωνύμων. Ἔτι δὲ τὰ μὲν οὐράνια σώματα ἅπτεται τῶν ὑπὸ Σελήνην, οὐ μὴν ἐκείνων αὐτά, ἀλλ' ἢ κατὰ τὴν Μαθηματικὴν ἀφήν.

## ΚΕΦΑ'ΛΑΙΟΝ, Ε'ΚΤΟΝ.

### Τῷ τρόπῳ γίνεται παρὰ τοῦ οὐρανίου τὸ θερμὸν, καὶ ψυχρὸν, καὶ ὑγρὸν, καὶ ξηρόν;

ΤΑ'ς παθητικὰς ποιότητας εἰδοποιοὺς τῶν στοιχείων πρώτας καλοῦμεν, οὐχ ὅτι παρὰ μηδενὸς ἔχουσι τὴν ἀρχὴν τοῦ εἶναι, ἀλλ' ὅτι πάντων τῶν ὑπὸ Σελήνην ἀρχαί εἰσι, καὶ γὰρ τῆς μὲν ὕλης ἀγεννήτου οὔσης κατὰ τὸν Φιλόσοφον, τοῦ δὲ θερμοῦ, καὶ ψυχροῦ, ὑγροῦ, καὶ ξηροῦ γινομένων ὑπὸ τοῦ ἀϊδίου σώματος, σῶμα γὰρ ὑπὸ σώματος μόνον μεταβάλλειν ἐνδέχεται τὰ τέσσαρα στοιχεῖα ἀποτελεῖται. ὃ δὴ ἐν πολλοῖς ὁ Φιλόσοφος ἐδήλωσεν. Πρώτῳ τῶν μετεωρολογικῶν κεφ. β. ἔστι δέ φησιν ἐξ ἀνάγκης συνεχής πως οὗτος, δηλαδὴ ὁ περὶ τὴν γῆν ὅλος Κόσμος ταῖς ἄνω φοραῖς, ὥστε πᾶσαν αὐτοῦ δύναμιν κυβερνᾶσθαι ἐκεῖθεν. κεφαλαίῳ δὲ τρίτῳ τῆς αὐτῆς πραγματείας. τὸ γάρ φησιν ὑπὸ τὴν ἄνω φορὰν σῶμα, οἷον ὕλη τις οὖσα καὶ δυνάμει θερμὴ καὶ ψυχρὰ, καὶ ξηρὰ καὶ ὑγρὰ, καὶ ὅσα ἄλλα τούτοις ἀκολουθεῖ γίγνεται τοιαύτη, καὶ ἔστιν ὑπὸ κινήσεώς τε καὶ ἀκινησίας. οἷς συμφωνοῦντες οἱ τοῦ Ἀριστοτέλους ἑρμηνευταὶ



ΙΩΑΝΝΙΝΑ 2006

πάντες τὰ στοιχεῖα ὑπὸ τοῦ οὐρανοῦ γεγεννῆσθαι φασίν. ὅθεν εἰκότως αὐτοτέρω ἠπόρηται πῶς ὑπὸ τοῦ ἁπλουστάτου σώματος ἐνδέχεται τὰ τοιαῦτα γίγνεσθαι σώματα δήλην ἔχοντα τὴν ἐναντίωσιν πρὸς ἄλληλα. οὗτινος εἰς λύσιν ἀκριβέστερον ταυτηνὶ τὴν ζήτησιν βασανίσωμεν. οἱ μὲν οὖν πάλαι ὅσοιπερ ἀμφὶ τὸν Παρμενίδην ἦσαν δύω πεποιηκότες τὰς ἀρχὰς τὸ Πῦρ καὶ τὴν Γῆν, ἤτοι τὸ θερμὸν καὶ ψυχρόν. τὸν μὲν οὐρανὸν πῦρ ὠνόμαζον καὶ θερμὸν, τὰ δὲ ὑπὸ Σελήνην ἅπαντα γῆν καὶ ψυχρά. διὸ δὴ θερμαίνεσθαι μὲν ὑπὸ τοῦ οὐρανίου σώματος, ψύχεσθαι δὲ καθ' ἑαυτὰ λειπόμενα. οἱ δ' ἀμφὶ τὸν Πλάτωνα τὸν οὐρανὸν σύνθετον ἐποίουν ἐκ τῶν τεττάρων στοιχείων, καὶ τὰς πρώτας ποιότητας ἐν αὐτῷ τιθέντες ἐνεργείᾳ διὰ τούτων ἔλεγον σώζεσθαι τὰς ὑπὸ τὴν Σελήνην ποιότητας. Τούτοις ὅμως ἀντιλέγουσιν οἱ περιπατητικοὶ οὐδεμίαν ἐναντίωσιν κατὰ πάθος ἐν οὐρανῷ τάττοντες. διόπερ εἰκότως ἀποροῦσι τῷ τρόπῳ ὑπὸ τῶν οὐρανῶν γίγνεται τὰ στοιχεῖα τῶν ἐν τοῖς στοιχείοις ποιοτήτων ὅλως ἀμοιρούντων. Εἰσὶ μὲν οὖν, οἵτινες τὸν οὐρανὸν προαγωγὸν οἴονται τοῦ θερμοῦ μόνου, τοῦ δὲ ψυχροῦ, καὶ ὑγροῦ, καὶ ξηροῦ κατὰ συμβεβηκός. εἰ καὶ γάρ φασιν ὁ οὐρανὸς ὕδωρ γεννᾷ μετὰ τοῦ ὕδατος, μετὰ δὲ ἀέρος ἀέρα. καὶ μετὰ πυρὸς πῦρ. ἀλλ' ὅμως κατὰ πρώτην γένεσιν ἀδύνατον ἐξ ἴσου ταῦτα γεννᾶν ἅπαντα ἐναντίωσιν ἔχοντα πρὸς ἄλληλα. Ἀλλ' οὗτοι τοῦ θερμοῦ μόνου γεννητικὸν λέγοντες τὸν οὐρανὸν, δῆλον ὡς οὐ καθόλου παντὸς νομίζουσι. τὸ γὰρ καθόλου πάντων ἐξ ἴσου ποιητικόν ἐστιν. Ἔτι δὲ οὐδὲ τοῦ θερμοῦ καθ' αὑτὸ καὶ πρώτως γεννητικός ἐστιν, ὁ οὐρανὸς. καθ' ἑαυτὸ γὰρ ποιητικὸν ἕκαστον. ὅταν ᾖ τοιοῦτον ἢ γεννητικόν. τὸ δὲ οὐράνιον σῶμα γεννᾷ μὲν φωτὶ τὸ θερμὸν, ἀλλ' οὐχ ᾗ φωτίζον. ὅθεν ἔνιοι τὴν ἐναντίαν τραπέντες οὐ μόνον δὴ τῶν λοιπῶν, ἀλλὰ καὶ αὐτοῦ τοῦ θερμοῦ κατὰ συμβεβηκὸς οἴονται δραστικὰ τὰ οὐράνια. λόγον δὲ τοιοῦτόν τινα προβάλλονται. ἐπειδὴ γάρ φασι τὰ στοιχεῖα κατὰ τὸ ὅλον ἀγέννητα τίθεται, οὐδέν ἐστι τούτων πρώτως ποιητικόν. τῶν δὲ μερῶν γεννητῶν ὄντων ποιητικὸν μὲν τὸ ὅλον κυρίως, τὰ δὲ οὐράνια σώματα κατὰ συμβεβηκὸς ᾗ συστικὰ τοῦ παντὸς καὶ συνθέοντα ταῖς κατὰ μέρος γενέσεσιν. ἀλλ' ἐπειδήπερ ὁτιοῦν μέρος τῶν στοιχείων φθαρτόν ἐστιν, ἀδύνατόν ἐστι τὴν τούτων ἀϊδιότητα ἀπ' αὐτῶν ποιείσασθαι. ἀλλ' ἐξ ὑπερεχούσης τινὸς αἰτίας. εἰ γὰρ ἀγέννητα εἰσι κατὰ τὸ ὅλον ἁπλῶς τὰ στοιχεῖα ἦν ἂν ἀληθῆ ἃ συμπεραίνουσι. νῦν δὲ ἅμα μέν ἐστιν ἀγέννητα καὶ ἄφθαρτα κατὰ τὸ ὅλον, κατὰ δὲ διαδοχὴν φθαρτὰ, τὸ δὲ καθ' ὁτιοῦν μέρος φθαρτὸν οὐκ ἐνδέχεται τοῦ ἀϊδίου καὶ θείου αἴτιον εἶναι. Ἔτι δὲ εἰ κατὰ συμβεβηκὸς ἦν πασῶν τῶν ποιοτήτων γεννητικὸς ὁ οὐρανὸς, ἦν ἂν ἡ τάξις τοῦ παντὸς κατὰ συμβεβηκός, ὁ γὰρ ὑπὸ Σελήνην Κόσμος ἐξήρτητο ἂν κατὰ συμβεβηκὸς τοῦ πρώτου σώματος.



ΙΩΑΝΝΙΝΑ 2006

Τούτων οὖν οὕτως ἐξεληλεγμένων ῥητέον πρῶτον ὅτι τὰ καθ' ἑαυτὸ κυρίως λεγόμενα, καὶ ἰδιαίτατα ἐν τῇ τῶν στοιχείων γενέσει τοῖς συνωνύμοις αἰτίοις ἀποδίδοται. Πυρὸς γὰρ καθ' ἑαυτὸ μᾶλλον γεννητικὸν τὸ πῦρ, ἢ ὁ οὐρανός. ὁμογενές τε ὄν, καὶ τῷ εἴδει ταὐτόν. ὅθεν καθ' ἑαυτὰ κυρίως γεννητικὰ λέγεται τὰ προσεχῆ τῶν αἰτίων. οὐδὲν ἧττον ὅμως καθ' ἑαυτὸ λέγεται ποιητικὸς ὁ οὐρανὸς πασῶν τῶν ποιοτήτων. κοινὸν γὰρ αἴτιον τοῦτο καὶ σχέσιν ἔχει τὴν ὁμοίαν ἢ καθόλου πρὸς ἅπαντα τὰ στοιχεῖα. ὅθεν τὰ οὐράνια σώματα κατὰ μὲν πρώτην ἐνέργειαν κινεῖ, καὶ φωτίζει, κατὰ δὲ δευτέραν θερμαίνει καὶ ψύχει. εἰ καὶ τῶν ποιοτήτων παραβαλλομένων ἀλλήλαις, ἐπειδὴ τὸ θερμὸν τιμιώτερόν ἐστι καὶ ἐγκριτώτερον, κυριώτερον τούτου ποιητικὸς λέγοιτ' ἂν ὁ οὐρανός. δεῖ οὖν εἰδέναι ὅτι τὸ οὐράνιον σῶμα τῷ φωτὶ καὶ τῇ κινήσει τέτταρα γεννᾷ στοιχεῖα, κύκλῳ μὲν γὰρ κινούμενον τὸ ὑπὸ τὴν περιφορὰν αὐτοῦ σῶμα συμπεριάγει. καὶ τὸ μὲν προσεχῶς ὑποκείμενον ἀραιοῖ καὶ διακρίνει. ἐπειδὴ δὲ τοῦ ἀραιοῦ σώματος ἧττον ἡ ὕλη ἐν μείζονι μεγέθει τοῦ ἐπιπολάζοντος σώματος ἀραιωθέντος. τὸ πλεῖον τῆς ὕλης ἐν τοῖς κατωτάτω σώμασι συνέσφιγκται, καὶ τούτων πάντων ἡ γῆ πυκνοτάτη ἐστὶ, καὶ πλείονα τὴν ὕλην ἔσχηκεν ἐν ἥττονι μεγέθει. φανερὸν δὲ ὅτι τό,τε πυκνὸν καὶ μανὸν ὑπὸ τοῦ οὐρανίου σώματος γίγνεται. καὶ τὸ μὲν μανὸν ἀραιούμενον ἅμα θερμαίνεται. τοῦ δὲ θερμοῦ ποιητικὸν ἡ κίνησις, ὡς καὶ αὐτὴ ἡ πεῖρα μαρτυρεῖ, ὅ,τε γὰρ πείων κινούμενος θερμαίνεται, καὶ παρατριβόμενος ὁ σίδηρος καυστικὸς γίγνεται, καὶ ὡς ὁ Φιλόσοφος μαρτυρεῖ αἱ μολιβδίδες ῥιπτούμεναι λειοῦνται, ἐξ ἐναντίας δὲ τὸ πυκνούμενον ψύχεται. καὶ τῷ μὲν μανῷ ἕπεται τὸ κοῦφον, καὶ τῷ πυκνῷ τὸ βαρὺ, διὸ δὴ καὶ ὁ Φιλόσοφος ὑπὸ τῆς κινήσεως καὶ ἀκινησίας λέγει γίγνεσθαι τὴν ὕλην θερμὴν καὶ ψυχρὰν, καὶ ὑγρὰν καὶ ξηρὰν, ὅτι τὸ μὲν ἀραιὸν κινεῖται καὶ θερμόν ἐστι, τὸ δὲ πυκνὸν ἠρεμεῖ καὶ ψυχρόν ἐστιν. ἴσως δὲ οὐκ ἀναρμόστως ὁ ἀφροδισιεὺς Ἀλέξανδρος τὸ ἡμῖν τέλος ἐπιθήσεται, δευτέρῳ τῶν Φυσικῶν ἀποριῶν καὶ λύσεων κεφ. γ'. ταῦτα γράφει. Ἡ γὰρ ὕλη κατὰ τὸν ἑαυ-
,, τῆς λόγον ἄποιός τε οὖσα καὶ ἀσχημάτιστος ὑπὸ τῆς ἀπὸ τῶν θείων σω-
,, μάτων δυνάμεως γινομένης ἐνεργείας, σῶμά ἐστι τε καὶ γίγνεται,
,, εἰδοποιεῖταί τε καὶ σχηματίζεται, ὡς τὸ μὲν πρὸς τῷ θείῳ σώματι αὐ-
,, τῆς καὶ γειτνιῶν ἐκείνῳ πλείονος τῆς θείας μεταλαμβάνον δυνάμεως
,, εἰδοποιεῖσθαι θερμότητι καὶ ξηρότητι. ταῦτα γὰρ τὰ πρῶτα τῶν ἀπ'
,, ἐκείνων ἐν τοῖς θνητοῖς πάθη. τὸ δὲ πλεῖον ἀφεστὼς τῶν ταύτης τῆς
,, μεταβολῆς τε καὶ γενέσεως αἰτίων αὐτῇ· οἷον σωμάτων, ἢ πάντη τοῖς
,, τούτων ἐναντίοις εἰδοποιεῖσθαι, ἢ τὸ μέσον τι τούτων, τὸ δέ τι τῶν τούτων
,, ἐναντίων εἶδός τε καὶ πάθος λαμβάνειν κατὰ τὴν ἐκείνων ἄλλοτε ἀλ-

,, λοίαν

ΙΩΑΝΝΙΝΑ 2006

„ λοίαν πρὸς τὰ τῇδε σχέσιν διὰ τὴν ἐπὶ τοῦ τοιούτου κίνησιν κύκλου „ διαφόρως εἰδοποιουμένων, τοιαύτη γὰρ ἡ τοῦ Ζωδιακοῦ διάθεσις, ἐφ' οὗ „ κινούμενα Ἥλιός τε καὶ Σελήνη, καὶ τὰ ἄλλα τὰ πλανᾶσθαι τῶν ἀστέ- „ ρων λεγόμενα, τῷ μέν τινι τῆς ὕλης μέρει ᾧ μᾶλλον, ἢ ἐγγυτέρω „ πρόσεισιν ἑκάστῳ θερμότητός τε καὶ ξηρότητος αἰτία γίνεται, ἐν οἷς τὸ „ εἶναι τοῦ πυρί, τὸ δὲ θερμότητος καὶ ὑγρότητος, ἥτις φύσις ἀέρος, „ τῷ δὲ ὑγρότητός τε καὶ ψυχρότητος ἥ ἐστιν ὕδατος φύσις, τῷ δὲ τοῖς ἔτι „ καταλειπομένοις ἐκ τῶν ἁπλῶν τῶν πρώτων δύω ἐναντιώσεων, ἅπερ „ ἐστὶ ψυχρότης τε καὶ ξηρότης, ἃ τὴν τῆς γῆς συνίστησι φύσιν, καὶ τοιαῦ- „ τα μὲν τὰ ἀπὸ τῆς θείας δυνάμεως εἴδη ἐν τῇ ὕλῃ ἁπλᾶ τε, καὶ „ πρῶτα εἴδη γινόμενα τῆς τῶν ἁπλῶν σωμάτων οὐσίας τε καὶ φύσεως αἴ- „ τια, τὰ δὲ ἐκ τῆς τούτων γιγνόμενα μίξεώς τε καὶ κράσεως ἅτε πλειό- „ νων κοινωνοῦντα δυνάμεών τε καὶ διαφόρων σωμάτων συνθετά τε εἴδη „ γίγνεται καὶ τελειότερα, καὶ ἡ τελειότης καὶ τὸ εἶδος αὐτοῖς διάφορον „ γίγνεται, κατά τε τὴν ἐν τοῖς πρώτοις εἰρημένην τῶν ἐν τῇ μίξει „ τῶν σωμάτων διαφοράν. ἔστι γὰρ τὰ μὲν αὐτῶν λεπτομερέστερά τε καὶ ποιη- „ τικώτερα. τοιαῦτα γὰρ ὅσα ἐγγυτέρω κεῖται τῆς τῶν θείων κινή- „ σεως. τὰ δὲ παχυμερέστερα, καὶ παθητικώτερα ὅσα πλέον ἀφέστηκε „ τῆς ἐκείνων φορᾶς. ὅσα μὲν γὰρ τῶν ἐν τῇ μίξει τε καὶ κράσει „ πλεῖον ἔχει τῶν λεπτομερῶν τε καὶ καθαρωτέρων σωμάτων τούτων τε- „ λειότερον τὸ εἶδος. ὅσα δὲ τοῦ μὲν τοιούτου σώματος ἔλαττον ἐν αὐτοῖς „ ἔχει, πλεῖον δὲ τοῦ παθητικωτέρου καὶ παχυμερεστέρου, τούτων καὶ τὸ εἶ- „ δος ἀτελέστερον.

## ΚΕΦΑ'ΛΑΙΟΝ, Ε''ΒΔΟΜΟΝ.

### Πότερον ἡ τοῦ Ἡλίου κίνησις αἰτία τῶν ὑπὸ Σελήνην γιγνομένων;

Εἰ καὶ τὰ οὐράνια σώματα τοῦ εἶναι παρακτικὰ λέλεκται τῷ θνητῷ σώματι, ἀλλ' ὅμως ἐπειδὴ κατὰ τὸν Φιλόσοφον κεφ. ι. τοῦ δευτέρου περὶ γενέσεως καὶ φθορᾶς, ἡ ποιητικὴ τῶν γενέσεων αἰτία τῇ κατὰ τὸν λοξὸν κύκλον κινήσει τοῦ Ἡλίου ἀνατίθεται, φέρε δὴ περὶ τῆς ζητήσεως ταύτης ἐν βραχεῖ τοὺς λόγους ποιήσωμεν. Πρῶτον τοίνυν οὐκ ἀληθὲς δοκεῖ αἰτίαν εἶναι τῶν γενέσεων τὴν ἐπὶ τοῦ λοξοῦ κύκλου κίνη-

σιν, ὡς λέγεται δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς κεφ. ι. τῆς μὲν οὖν φησι συνεχείας ἡ τοῦ ὅλου φορὰ αἰτία. τοῦ δὲ προσιέναι καὶ ἀπιέναι ἡ ἔγκλισις, εἰ γὰρ ὁ Ἥλιος μόνον ἐφέρετο τῇ τῆς ἐξωτάτω σφαίρας κινήσει ἐγένετ' ἂν τὰ ὑπὸ Σελήνην. καὶ γὰρ ὁ Φιλόσοφος ἐπειδή φησιν οὐκ ἐνδέχεται γίγνεσθαι ἄμφω διὰ τὸ ἐναντία εἶναι, μιᾶς οὔσης τῆς φορᾶς, τὸ γὰρ αὐτὸ καὶ ὡσαύτως ἔχον ἀεὶ τὸ αὐτὸ πέφυκε ποιεῖν, ἀνάγκη πλείους εἶναι τὰς κινήσεις καὶ ἐναντίας, ἢ τῇ φορᾷ, ἢ τῇ ἀνωμαλίᾳ. ὅθεν συνάγει οὐ τὴν πρώτην φορὰν αἰτίαν εἶναι γενέσεως καὶ φθορᾶς, ἀλλὰ τὴν κατὰ τὸν λοξὸν κύκλον. ὡς διὰ ταύτης προσιόντος τοῦ Ἡλίου καὶ ἀπιόντος, ἀλλ' ἣν ἐκινεῖτο ὁ Ἥλιος τῇ τῆς ἀνωτάτω σφαίρας φορᾷ, ἣν αὖ ὁτὲ μὲν πόρρω, ὁτὲ δὲ ἐγγὺς ἡμῶν, καὶ διπλῆν φερόμενος κίνησιν προσοδεύοντι καὶ ἀφοδεύων, ἐγέννα αὖ ἅπαντα. ὅτι δὲ κατὰ τὴν πρώτην φορὰν ὁ Ἥλιος κινούμενος, ὁτὲ μὲν ἀφίσταται, ὁτὲ δὲ ἐγγὺς ἡμῶν γίγνεται φανερόν. ἡ γὰρ πρώτη φορὰ ὁρίζει τὰς ἡμέρας καὶ νύκτας ἀποστάσεσι καὶ προσελεύσεσιν ἡλίου. Δεύτερον, τοῖς γε ἐσπουδακόσι, καὶ ἐξησκημένοις τὴν Ἀστρονομικὴν θεωρίαν δῆλον ὅτι προσγειότερος ὁ Ἥλιος ἐστὶ χειμῶνος, ἀπογειότερος δὲ θέρους. ὥστε εἰ τῷ προσιέναι γεννᾷ ὁ Ἥλιος, τῷ δ' ἀπιέναι φθείρει, ἐχρῆν αὖ χειμῶνος μὲν τελεῖσθαι τὰς γενέσεις, θέρους δὲ τὰς φθοράς. τὰ δ' ἐναντία πάντως ἐδίδαξεν ὁ Φιλόσοφος. Τρίτον, εἰ τῆς μὲν ἐν γενέσει καὶ φθορᾷ ἀϊδιότητος ἡ διηνεκὴς κατὰ λοξὸν κύκλον κίνησις αἰτία, τῆς δὲ ἐν ταῖς μεταβολαῖς ταύτης ἐναντιώσεως ἡ πρόσοδος καὶ ἀποχώρησις, περιττὴ αὖ εἴη ἡ τῆς ἀνωτάτω σφαίρας φορά, καὶ εἰς οὐδὲν συντείνουσα ταῖς περὶ γῆν γενέσεσι. ταύτην δὲ ὡς ἅτε δὴ πρωτίστην οὖσαν αἰτίαν μάλιστα δεῖν οἶμαι νομίζειν. Τέταρτον, εἰ τῷ προσιέναι γεννᾷ ὁ Ἥλιος, τῷ δ' ἀπιέναι φθείρει, ὡρισμένοις χρόνοις ἔδει γενέσθαι τὰς γενέσεις καὶ φθοράς, μάλιστα δὲ ὡς λέγεται, μορίῳ νζ'. τοῦ δευτέρου περὶ γενέσεως καὶ φθορᾶς, τῷ ἴσῳ χρόνῳ γενέσθαι τὴν φθορὰν καὶ τὴν γένεσιν τὴν κατὰ φύσιν. ὥστε κατὰ μὲν τὴν τοῦ Ἡλίου πρόσοδον τὰς γενέσεις τελεῖσθαι, κατὰ δὲ τὴν ἄφοδον τὰς φθοράς, νῦν δὲ τοὐναντίον γίγνεται καὶ ὁ λόγος τοῦτ' αὐτὸ πάσχει. ἐπειδὴ ἀδύνατον γένεσιν εἶναι ἄνευ φθορᾶς, καὶ φθορὰν ἄνευ γενέσεως, ἡ ἑτέρου γὰρ γένεσις θατέρου φθορά, καὶ ἡ ἑτέρου φθορὰ θατέρου γένεσις. καὶ ἡ πεῖρα διαμαρτύρεται, οὐ ἧττον γὰρ θέρους γίνονται φθοραί, ἢ χειμῶνος γενέσεις. ὥστε μὴ πάμπαν ἀληθὲς εἶναι γένεσιν γίγνεσθαι προσιόντος Ἡλίου, φθορὰν δὲ ἀπιόντος. Πέμπτον, δοκεῖ οὐ μόνον ἐψεῦσθαι ὁ Φιλόσοφος τοῦ καθ' ὡρισμένους χρόνους τελεῖσθαι τὰς γενέσεις, ἀλλὰ καὶ ἐν οἷς ἐκ τῶν εἰρημένων συμπεραίνει, ὅτι καὶ οἱ χρόνοι καὶ οἱ βίοι ἑκάστων ἀριθμὸν ἔχουσι, καὶ τούτῳ διορίζονται. εἰ γὰρ ἀληθῆ ταῦ-

τα,

Ε.Υ.Α.Π.Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τα, ὧν ἑκάστων ὡρισμένον τὸ μέτρον τοῦ βίου. νῦν δὲ ἐν τῷ αὐτῷ εἴδει τὰ μὲν ἐπιμήκιστον βιοῖ, τὰ δὲ ἐν βραχεῖ θνήσκει. Ἧττον οὐχ ὁ Ἥλιος δοκεῖ τῶν περὶ τὴν γῆν μεταβολῶν αἰτία, ἀλλὰ μᾶλλον τὰ προσεχῆ αἴτια, εἰ γὰρ αὖ καὶ ἵστατο ὁ Ἥλιος, τὸ πῦρ οὐδὲν ἧττον ἐθέρμαινε, καὶ τὸ ὕδωρ ἔψυχε. Τούτων οὖν οὕτως ἠπορημένων εἰς εὐκρίνειαν τῶν ῥηθησομένων, κείσθω Πρῶτον τὸ αἰθέριον σῶμα αἰτίαν εἶναι κοινὴν καὶ καθόλου τῶν ὑπὸ τὴν περιφορὰν σωμάτων, εἴτ᾽ ἐμψύχων, εἴτ᾽ ἀψύχων, οὐχ ὅτι μόνον μετὰ τῶν προσεχῶν καὶ συνωνύμων αἰτιῶν τῆς τῶν πραγμάτων γενέσεως αἴτιόν ἐστιν, ἀλλ᾽ ὅτι τῶν πλειόνων ἅπερ ἐν τῷ περὶ τὴν γῆν Κόσμῳ γίγνεται καθ᾽ ἑαυτὸ ποιητικόν ἐστιν, οὐ μόνον γὰρ ἐξ ἄλλου ἄλλο γεννᾷ στοιχεῖον δίχα τῆς τοῦ προσεχοῦς αἰτίου συνδρομῆς, ἀλλ᾽ εἴπου τύχοι συγκραθῆναι ἁρμοδίως καὶ ἐπιμεμίχθαι τὰ στοιχεῖα καὶ αὐτὴν ἐμποιεῖ τὴν ψυχικὴν δύναμιν. τῶν μὲν οὖν στοιχείων διχῶς ἀποτελεστικόν ἐστι τὸ οὐράνιον σῶμα, ἤτοι μετὰ τῶν στοιχείων εἰς τὴν ἑκάστου συνθετὸν γένεσιν, ἢ δίχα τούτων γεννῶν ἕκαστον τῇ συναγωγῇ καὶ διακρίσει. καὶ γὰρ ὡς ἡ πεῖρα διαμαρτύρεται, τὸ φῶς διακλασθὲν τῇ παρενθέσει τοῦ κρυστάλλου πῦρ πέφυκε ποιεῖν. τῶν δὲ μικτῶν αἰτία γίγνεται παρασυνάγον ἀλλήλοις τὰ στοιχεῖα ἐν τῷ περὶ τὴν γῆν τόπῳ, καὶ διαπλέκον εἰς μάχην, καὶ κατασπεῖρον δύναμιν ἐν τούτοις συνεκτικὴν τῶν ἁπλῶν σωμάτων. τῶν δὲ μικτῶν ὅσα ἔμψυχα αἴτια μᾶλλον τῆς θειοτέρας φύσεως μεταδιδὸν, καὶ τῆς ψυχικῆς οὐσίας. ἅπασι τοίνυν τοῖς ὑπὸ Σελήνην τοῦ εἶναι πρόξενος ὁ οὐρανὸς, ὥστε λόγου χάριν εἴποτε σταίη τὰ οὐράνια σώματα, ἔρροι αὖ εἰς φθορὰν τὰ ὑπὸ Σελήνην ἅπαντα. κείσθω Δεύτερον ὃ καὶ ἀνωτέρω εἴρηται, ὅτι αἱ τοῦ βίου περίοδοι ἐν ἑκάστῳ εἴδει ὡρισμέναι εἰσὶν, ὥστε μὴ ἐνδέχεσθαι τοῦ μέτρου ἐκβιῶναι τῆς ζωῆς τὰ ἐν τῷ εἴδει ἄτομα, καίτοι ἐνδέχεται ἐντὸς τῶν ὅρων ἄλλα ἄλλων βραχυβιώτερα εἶναι, ἢ μακροβιώτερα. Τούτων οὖν οὕτως ὑποκειμένων πρῶτον περὶ τῆς ἐγγινομένης ὑπὸ τοῦ Ἡλίου τῷ θνητῷ σώματι δυνάμεως εἴπωμεν. Τοῦτο γὰρ καὶ μάλιστα διηπόρηται πῶς ὁ Ἥλιος τῶν γιγνομένων αἰτία λέγεται ἔν τε τῷ παρόντι βιβλίῳ, καὶ ἐν τῷ πρώτῳ τῶν μετεωρολογικῶν κεφ. γ΄. ἔνθα τὸν Ἥλιόν φησι παρέχεσθαι τὴν θερμότητα τοῖς ὑπὸ Σελήνην, ἣν λέξιν καὶ ἀλλαχοῦ ἐξεθέμεθα. ὁμοίως δὲ δευτέρῳ περὶ οὐρανοῦ, μορίῳ μβ΄. ἡ δὲ θερμότης φησὶν ἀπ᾽ αὐτῶν καὶ τὸ φῶς γίγνεται παρεκτριβομένου τοῦ ἀέρος ὑπὸ τῆς ἐκείνων φορᾶς, καὶ ἁπανταχοῦ σχεδὸν τὴν οὐράνιον κίνησιν, μάλιστα δὲ τοῦ Ἡλίου αἰτίαν ἀποφαίνεται τῶν τῇδε γιγνομένων. ὡς γὰρ καὶ Ὀλυμπιόδωρος ἐκτίθη-
„ σι. Τὰ μὲν οὐράνια σώματα στερεά τε ὄντα καὶ τάχιστα φερόμενα παρα-
„ τρίβουσι τὸν ὑποκείμενον ἀέρα καὶ γεννῶσι τὸ μὲν θερμὸν ἐν τῷ μα-



ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΑΧΡΟΝΙΚΗΣ ΜΕΛΕΤΗΣ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ. ΕΠ.Ε.Α.Ε.Κ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

„ νυμένῳ σώματι, τὸ δὲ ψυχρὸν ἐν τῷ πυκνουμένῳ. Τίνος δὲ ἕνεκεν „ ἡ τοιαύτη γένεσις ἀνατίθεται τῷ Ἡλίῳ, καί τοι τῆς ἀνωτάτω σφαίρας ταχύτερόν τε κινουμένης καὶ στερεωτέρας οὔσης διὰ τὸ ἐν αὐτῇ τῶν ἀστέρων πλῆθος τὴν αἰτίαν ὁ Φιλόσοφος ἀποδίδωσιν. Ἔτι δὲ καὶ δι᾽ ἣν αἰτίαν οὐχ ἡ Σελήνη προσεχὴς οὖσα αἰτία τίθεται, ἀλλ᾽ ὁ Ἥλιος, ταχεῖάν τε γάρ φησι δεῖ καὶ μὴ πόῤῥω εἶναι δηλονότι τὴν κίνησιν τὴν ποιητικὴν τῶν ὑπὸ Σελήνην. Ἡ μὲν οὖν τῶν Ἄστρων ταχεῖα μὲν, πόῤῥω δέ. ἡ δὲ τῆς Σελήνης κάτω μὲν βραδεῖα δέ. ἡ δὲ τοῦ Ἡλίου ἄμφω ταῦτα ἔχει ἱκανῶς. πάντα μὲν οὖν τὰ οὐράνια σώματα ποιητικὰ τῶν τῇδε, μάλιστα δὲ ὁ Ἥλιος, ὅτι ἐν ὅλῳ τῷ οὐρανίῳ σώματι τὸ κυριώτατόν ἐστι μέρος, καὶ χώραν ἐπέχει ἣν ἐν τοῖς ζώοις ἡ καρδία. Ἔτι δὲ τεττάρων ὄντων, ἃ τὴν ποιητικὴν δύναμιν τῶν οὐρανῶν ἐπαύξεται, τοῦ τε μεγέθους, καὶ τῆς στερεότητος, καὶ τῆς κατὰ κίνησιν ταχύτητος, καὶ τῆς ἐγγύτητος ἐν οὐδενὶ πάνθ᾽ ὁμοῦ εὕρηται, ἀλλ᾽ ἢ ἐν Ἡλίῳ. ὅθεν εὐλόγως ἐν τῇ τῶν ὑπὸ Σελήνην ποιήσει τὰ πρῶτα ἐπέχειν εἴρηται παρὰ τοῦ Φιλοσόφου, ἐκ τούτων δὲ καὶ ἡ τῶν ἀντικειμένων λύσις πρόχειρός ἐστι. Πρὸς μὲν γὰρ τὸ πρῶτον φαμὲν οὐχ ἱκανὸν εἶναι τὴν κατὰ τὴν πρώτην φορὰν πρόσοδον, καὶ ἄφοδον τοῦ Ἡλίου, βραχεῖα γάρ ἐστιν, ἡ δὲ κατὰ τὸν λοξὸν κύκλον προσέλευσις καὶ ἀπόστασις, διὰ μείζονος γιγνόμεναι διαστήματος ἀποχρῶσαι δοκοῦσαι, πλείστην ὅσην ἔχουσαι διαφοράν. πρόσθες ὅτι εἰ κατὰ τὴν πρώτην φορὰν ἐκινεῖτο ὁ Ἥλιος, οὐκ ἂν διώδευε τοσοῦτον τῆς γῆς μέρος ὅσον ἐστὶν ἀπὸ καρκίνου ἄχρις αἰγόκερω τὰς τρεῖς ὁρίζων ζώνας τάς τε εὐκράτους καὶ τὴν κεκαυμένην. Πρὸς δὲ τὸ δεύτερον ῥητέον ὅτι πρόσοδον ὁ Φιλόσοφος φησὶν οὐ τὸ ἐγγὺς γίνεσθαι τῆς γῆς, ἀλλὰ πλησίον ἡμῶν ἢ πόῤῥω. ὅθεν εἰ καὶ χειμῶνος προσγειότερος ὁ Ἥλιος ἀλλά γε, πόῤῥω ὢν οὐ κατ᾽ εὐθεῖαν ἀφίησι τὰς ἀκτῖνας, ὅθεν οὐδὲ θάλπει τὰ παρ᾽ ἡμῖν γιγνόμενα. θέρους δὲ εἰ καὶ ἀπωτέρω τυγχάνει, ἀλλ᾽ οὖν ἐπιστὰς ἡμῖν δραστικώτερος γίγνεται ὥς γε καὶ ἡ πεῖρα μαρτυρεῖ. Πρὸς δὲ τὸ τρίτον ῥητέον ὅτι οὐ περιττὴ ἡ πρώτη φορὰ περιάγει γὰρ τὸν Ἥλιον, κατὰ τὸ νυχθήμερον καὶ ἐν ἑκάστῳ μέρει τοῦ λοξοῦ κύκλου παντὶ τῷ περὶ τὴν γῆν Κόσμῳ χαρίζεται. ἣν δὲ ὁ Ἥλιος μόνην τὴν οἰκείαν ἐφέρετο κίνησιν, ἐπὶ μὲν ἂν τῶν αὐτοῦ ἀκτίνων κατ᾽ ἑξάμηνον εὐποροῦντες, τὸ λοιπὸν δὲ τοῦ αὐτοῦ ἐστερημένοι. τὸ αὐτὸ δὲ πεπόνθασιν ἂν καὶ οἱ περὶ τὴν γῆν ἅπαντες. Πρὸς δὲ τὸ τέταρτον ἀπαντητέον, ὅτι γενέσεις ἐνταῦθα φησὶ τὰς ἐκ τοῦ χείρονος ἐπὶ τὸ βέλτιον μεταβολὰς, φθορὰς δὲ τὰς ἐκ τοῦ βελτίονος ἐπὶ τὸ χεῖρον, ἔαρος μὲν οὖν καὶ θέρους αἱ γενέσεις λέγονται γίγνεσθαι, ἀλλ᾽ οὐχ αἱ φθοραὶ, ὅτι αἱ μεταβολαὶ ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω γίγνονται. φθινοπώρου δὲ



Ε.Υ.Δ τῆς Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ χειμῶνος αἱ φθοραὶ γίνονται. ὅτι αἱ μεταβολαὶ ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ χείρω, καίτοι ἐν οὐδενὶ χρόνῳ οὐκ ἔστιν ὅτε ἡ φθορὰ αὐτὴ γενέσεως, ἡ γένεσις αὐτὴ φθορᾶς γίγνηται. Πρὸς δὲ τὸ πέμπτον πρόχειρος ἡ ἀπάντησις ἐκ τῶν ἀνωτέρω λεχθέντων. ὁμοίως δὲ καὶ πρὸς τὸ τελευταῖον. ἣν γὰρ στερεὰν τὰ οὐράνια σώματα οὐδεμία οὐδαμῶς ἐπιτελεῖται γένεσις ἐν τοῖς ὑπὸ τὸν οὐρανόν. ἀλλὰ ταῦτα μὲν ἀποχρώντως εἰρήσθω εἰς ἀνάπτυξιν τοῦ πρώτου καὶ δευτέρου περὶ γενέσεως καὶ φθορᾶς, ἐν οἷς περί τε τῆς ὕλης καὶ τοῦ εἴδους τῶν γεννητῶν καὶ φθαρτῶν. Ἔτι δὲ περὶ τοῦ τελικοῦ καὶ ποιητικοῦ αἰτίου διελάβομεν. ἐξεθέμεθα δὲ καὶ τὰ γένη τῶν μεταβολῶν, τί τε ἐστὶ γένεσις καὶ φθορά, καὶ τί ἀλλοίωσις, καὶ τί αὔξησις. Ἔτι περὶ μίξεως, ποιήσεώς τε καὶ παθήσεως, καὶ ἀφῆς διεξήλθομεν. Τελευταῖον δὲ τὴν τῶν στοιχείων θεωρίαν ἐξηκριβώσαμεν, ἅπερ ὡς ἀρχαὶ τῶν μικτῶν προσλαμβάνεται, ὅπως τε μεταβάλλει εἰς ἄλληλα, καὶ τίνας ἔχουσιν ἕκαστον διαφορὰς οὐσιώδεις. εἰ δέ που τὴν Ἀριστοτελικὴν λέξιν ἀντιθέντες τῇ ἱερᾷ θεολογίᾳ ἀπεφθεγξάμεθα, μήτις ἡμᾶς τοὐναντίον ταῦτα φρονεῖν νομιζέτω, εἰ γὰρ καὶ δέῃ οὐ μόνον τὰ τοῦ Ἀριστοτέλους, ἀλλὰ καὶ τὸν ἅπαντα Κόσμον ἀπομόσαι σὺν Θεῷ προθύμως ἔχομεν, ἀλλὰ τὴν τοῦ Ἀριστοτέλους δόξαν ἁπανταχοῦ γνησίως ἀνεπτυξάμεν, οὐχ ἵνα ταύτῃ ἀκολουθῶμεν, ἀλλ' ἵνα διαφύγωμεν πρὸς τὰ τῆς δυσσεβείας ἄδυτα ὁδηγήσει θείου φωτός. ἀποδιδόντες ὡς ἐφικτὸν καὶ ταῖς γραφικαῖς παραινέσεσι σώματι καὶ ψυχὴν καθοσιούμενοι, καὶ Θεὸν ἐν ἀδιαιρέτῳ φύσει τρισυπόστατον προσκυνοῦντες, ᾧ δόξα πρέπει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**ΤΕΛΟΣ τοῦ περὶ γενέσεως καὶ φθορᾶς τοῦ Σταγειρίτου.**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΠΑΡΟΡΑΜΑΤΑ.

| Σελίδ. | στίχ. | | Γράφ. |
|---|---|---|---|
| 5 | 3 | ὑπὸ ἅπαντα | ὑπὸ Σελήνην ἅπαντα |
| 14 | 1 | περιεκτὸν | —— |
| | 2 | τὸν | τὰ |
| 23 | 10 | ἑκάστη | ἕκαστον |
| | 11 | πᾶσαι | πάντα |
| | 18 | παῦ ἤ | παύῃ |
| 28 | 37 | τὶς μύθους | τοὺς μύθους |
| 33 | 7 | σωκράτης | σωσικράτης |
| 35 | 24 | ξενοκράτους | ξενοφάνους |
| 48 | 1 | ξενοκράτη | ξενοφάνης |
| 61 | 20 | γαλῆσθαι | ὑψιέσθαι |
| 80 | 2 | τὴν ὕλην | ἡ ὕλη |
| | 17 | ὑπὸ ὡς | ὑπὸ Σελήνην |
| 81 | 27 | οἱ ἀμφὶ Θαλῆν ὕδωρ, | ὕδωρ |
| 87 | 12 | εἰ θιώθετον | εἰμὴ σύνθετον |
| 119 | 26 | γιγνόμενον | γιγνομένων. |
| 129 | 23 | τὰ ὑπὸ φθαρτὰ | τὰ ὑπὸ Σελήνην φθαρτὰ |
| 141 | 1 | τοῦ ἐλαυομένου | τοῦ ἐλαυνομένου |
| 155 | 25 | ἑκάστως | ἑκάστου |
| 163 | 19 | ἀδιαίρετον ἤ | ἀδιαίρετον, |
| | 29 | χρυσοφύετον | χρυσοφύγετον |
| 169 | 14 | αὐτοβλέψι, | αὐτὸ βλέψι, |
| 237 | 15 | πήγνυνται | πήγνυται |
| 248 | | κεφάλαιον δέκατον | κεφάλαιον πρῶτον |
| 251 | 3 | πακεῖσθαι | παράκεισθαι |
| 252 | 9 | ἀφνίζεται | ἀφανίζεται |
| 272 | 23 | κλύμης | λύμης |
| 299 | 28 | καὶ παρὰ καὶ ὡς ἐπὶ τὸ πολὺ, τὸ ἀεὶ, | καὶ παρὰ τὸ ἀεὶ, καὶ ὡς ἐπὶ τὸ πολὺ, |
| 322 | 12 | τὸ | τοῦ |
| 329 | 8 | θηρεῦσθαι | θηρεῦσαι |
| 343 | 26 | ἰῶ | ἰῷ |
| 344 | 5 | καὶ ἀναθυμιάσεις | ἀτμοὺς καὶ ἀναθυμιάσεις |
| | 19 | ἤπου κότης. | ἡ πυκνότης |
| | 26 | ὑπὸ Σελήνην | τὸ ὑπὸ Σελήνην |
| 346 | 20 | ταυτὶ | ταυτή. |
| 348 | 39 | καὶ 349 1 | . |
| 349 | 1 | θατέρας | θατέραν |
| 351 | 11 | διιώνεγκεν | διιώνεγκον |
| | 12 | τὸν | τῶν |
| | 14 | μόριον | μόνον |
| 369 | 21 | οὗς | οὓς |
| 374 | 20 | ἢ | ᾗ |
| 383 | 22 | μᾶλλον | μέλλων |
| 390 | 12 | ἀμμυνήτῳ | ἀμυνήτῳ |
| 396 | 28 | ἐμφύλους | ἐμφυλίους |
| 408 | 23 | τοιοῦτον ἤ. | τοιοῦτον ᾖ. |

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006